# Η ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΧΑΙΡΕΤΙΣΜΩΝ ΕΙΣ ΤΟΝ ΠΑΝΑΓΙΟΝ ΤΑΦΟΝ ΤΟΥ ΚΥΡΙΟΥ

Τῇ ἐγκρίσει καί εὐλογίᾳ τῆς Α.Θ.Μ.
τοῦ Πατριάρχου Ἱεροσολύμων
κ.κ. ΕΙΡΗΝΑΙΟΥ τοῦ Α΄

Ἔκδοσις τῆς ἐν Ἑλλάδι Ἐξαρχίας
τοῦ Παναγίου Τάφου

Ἀθῆναι 2005

Ὁ Ἱερεύς:

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμὴν

*Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.*

## Κοντάκιον

Τῷ Παναγίῳ καὶ Σεπτῷ Τάφῳ Σου Δέσποτα,
Παρεστηκὼς ὁ εὐτελής τε καὶ ἀνάξιος,
Τὴν ἐμὴν ἀφοσιώσασθαι μετὰ πόθου,
Οἰκτροτάτην ταύτην δέησιν τετόλμηκα,
Καὶ εἰς δύναμιν συμπλέξας Τούτῳ ἔπαινον,
Προσφεγγόμενος· Χαίροις, Τάφε Πανάγιε.

Ἄναρχε Θεοῦ Λόγε Ἰησοῦ Ζωοδότα, ὁ ἐν τούτῳ συσχεθεὶς τῷ

Τάφῳ· (γ΄) Σὺ Πανάγαθε Παμβασιλεῦ, σύνεσιν καὶ γνῶσιν θεϊκὴν δώρησαι· ὡς ἂν αὐτὸν ὑμνήσαιμι, μετὰ πόθου ψυχῆς κραυγάζων·

Χαῖρε, ὁ Τάφος τοῦ Ζωοδότου·
χαῖρε, οἰκίσκος τοῦ Φωτοδότου.

Χαῖρε, ὑπ' Ἀγγέλων ἀεὶ ὁ φρουρούμενος·
χαῖρε, ὑπ' ἀνθρώπων πιστῶν προσκυνούμενος.

Χαῖρε, ὅτι ἐν σοὶ τέθαπται ὁ Σωτὴρ σωματικῶς·
χαῖρε, ὅτι ἐξεγήγερται ἀπὸ Σοῦ Θεοπρεπῶς.

Χαῖρε, οὗπερ τὸν τύπον Ἰωνᾶς προμηνύει·
χαῖρε, οὗπερ τὴν δόξαν ὁ Δαυὶδ προφητεύει.

Χαῖρε, πιστῶν ἀνάκτων προσκύνημα·
χαῖρε, παντοίων νόσων πανάκεια.

Χαῖρε, φωτὸς ἀνεσπέρου λυχνία·
χαῖρε, χρωτὸς καὶ ψυχῆς θεραπεία.

**Χαῖρε, Τάφε Πανάγιε**



Βλέπουσα ἡ Παρθένος τὸν Υἱὸν ἐπὶ ξύλου παγέντα καὶ τὴν Πλευρὰν νυγέντα, προσῆλθε τῷ κρυπτῷ Μαθητῇ ἐξ Ἀριμαθείας, Ἰωσήφ, λέγουσα· σπουδῇ τὸ Σῶμα αἴτησον καὶ θάψον τῷ σῷ τάφῳ, κράζων·

**Ἀλληλούϊα**

Γνῶσιν ἤθελεν ἔχειν ὁ Πιλάτος τῆς ὥρας, καθ' ἣν ὁ Ἰησοῦς ἐτεθνήκει· καὶ ἐκ τοῦ Κεντυρίωνος μαθών, δωρεὰν τὸ Σῶμα Ἰωσὴφ δίδωσιν· αὐτὸς δὲ εὐθὺς ἔδραμε τόν Τάφον εὐπρεπίσαι λέγων·

Χαῖρε, ὦ κτῆμα τοῦ σὲ ὁρῶντος·
χαῖρε, ὦ Μνῆμα Νεκροῦ καὶ ζῶντος.

Χαῖρε, τὸ ἐμὸν ἕως νῦν κοιμητήριον·
χαῖρε, σεπτὸν ἀπ' ἄρτι θυσιαστήριον.

Χαῖρε, τάφος ὃν ἐλάξευσα ἐν τῷ λίθῳ τούτῳ πρίν·

χαῖρε, ὅνπερ νῦν χαρίζομαι Ἰησοῦ Παμβασιλεῖ.

Χαῖρε, τὸ δι' ἐμὲ κατασκευασθὲν μνημεῖον·
χαῖρε, τοῦ Ἰησοῦ βασιλικὸν νῦν ταμεῖον.

Χαῖρε, ἐμοῦ τοῦ γήρως ἀνάπαυλα·
χαῖρε, Χριστοῦ τριήμερον σκήνωμα.

Χαῖρε, Χριστῷ κῆπε ἡτοιμασμένε·
χαῖρε, Παράδεισε διηνθισμένε.

**Χαῖρε, Τάφε Πανάγιε**

Δεῦρο δὴ Ἰωάννη, Ἰωσὴφ ἀνεβόα, καὶ σὺ ὦ Νικόδημε ὁμόφρων· καὶ κλίμακας θέντες ἀσφαλῶς, Ἰησοῦ τὸ Σῶμα καθελεῖν σπεύσωμεν· καὶ Τοῦτο δὲ θρηνήσαντες γοερῶς ἄσωμεν τὸν ὕμνον·

**Ἀλληλούϊα**



Ἔδησαν ὀθονίοις, τοῦ Κυρίου τὸ Σῶμα, ἀλείψαντες Αὐτὸ σμυρναλόῃ, οἱ περὶ τὸν κλεινὸν Ἰωσήφ, καὶ ἐν Σοὶ τῷ Τάφῳ τῷ καινῷ ἔθεντο· καὶ λίθον προσκυλίσαντες ἐπὶ τὴν σὴν θύραν ἐβόων·

Χαῖρε, ὁ κρύπτων τὸν Βασιλέα·
χαῖρε, ὁ κλείων θησαυρὸν μέγαν.

Χαῖρε, ὁ ἐκτυπῶν χρυσήλατον μόδιον·
χαῖρε, τὸν νοητὸν ὑποκρύπτων Ἥλιον.

Χαῖρε, κλῖμαξ δι' ἧς κάτεισιν ὁ Χριστὸς ἐν τοῖς νεκροῖς·
χαῖρε, ἥτταν ἐργασάμενος τοῖς τοῦ Ἅδου πυλωροῖς.

Χαῖρε, τοῖς ἐν τῷ σκότει τὸ Φῶς διαπορθμεύσας·
χαῖρε, τοῖς ἐν τῷ Ἅδῃ Λυτρωτὴν καταπέμψας.

Χαῖρε, δι' οὗ ἐλύθησαν δέσμιοι·
χαῖρε, δι' οὗ ἐσώθησαν δίκαιοι.

Χαῖρε, ἀρχὴ τῆς ἡμῶν ἀφθαρσίας·
χαῖρε, πηγὴ θνητῶν ἀθανασίας.

**Χαῖρε, Τάφε Πανάγιε**

Ζάλης καὶ ἀθυμίας, πεπλησμένη ἡ Μήτηρ, ῥομφαίᾳ λύπης σπαραττομένη, ἐκάθητο σὺν τοῖς κηδευταῖς καὶ Μαθητρίαις Χριστοῦ πικρῶς κλαίουσα. Τὰ σπλάχνα κοπτομένη δέ, ἀνέκραζε γοερὸν μέλος·

**Ἀλληλούϊα**

Καὶ ἀρχόμεθα τοῦ Κανόνος οὗ ἡ Ἀκροστιχὶς
Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῳ. Ἰησοῦς.



*Ὠδὴ α'.* Ὁ Εἱρμός. *Ἦχος δ'.*

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος καὶ λόγον ἐρεύξομαι ψάλλων ἐκ βάθους ψυχῆς καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, τιμῶν τὸν Πανάγιον Τάφον Σου Κύριε.

Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Χριστοῦ Θεῖον Σκήνωμα, ἡτοιμασμένον πρὸς Ἔγερσιν ἐν ᾧ ὁ Ἀθάνατος βουλήσει τέθαπται, ἵνα Ἀνάστασιν πᾶσι βροτοῖς δωρήσῃ, παρέχεις ἰάματα, τοῖς Σοί προστρέχουσι.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι.**

Ἀδάμ νῦν ἀγάλλεται, ὁρῶν ἐν Σοί κηδευόμενον, τῆς Δόξης τὸν

Κύριον, βουλήσει θνήσκοντα, ἵνα τὸν ἄνθρωπον καὶ πάλιν ἀναγάγῃ εἰς δόξαν αἰώνιον, ἣ, φθόνῳ ἀπώλετο.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι**

Ρῶσις ἀκατάβλητος, πᾶσι πιστοῖς ἀναδέδειξαι, δαιμόνων γὰρ τὰς φάλαγγας Σύ κατετρόπωσας· χαῖρε κατάλυμα ὡραῖον τοῦ Δεσπότου, δι' οὗ Ἀναστάσεως βροτοὶ ἐτύχομεν.

**Καί νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.**

Ἀγγέλων θησαύρισμα, χαῖρε δι' οὗ ἐκδιώκεται ἀνθρώπων κατήφεια, χαρᾶς Σύ πρόξενε, Τάφε τρισόλβιε, ὁ χρυσοσκεύαστος φάρος δι' οὗ διαφαίνονται τὰ ἐπουράνια



*Ὠδὴ γ'. Ὁ Εἱρμός.*

Τοὺς Σοὺς ὑμνολόγους Ζωοδότα, πηγή Ἀναστάσεως βροτῶν, θίασον συγκροτήσαντας πνευματικόν στερέωσον, καί, ἐν τῇ θείᾳ δόξῃ Σου, στεφάνων δόξης ἀξίωσον.

## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Σταυρῷ προσεπάγης ἑκουσίως, ἐκπλύνων τὰ πταίσματα βροτῶν καὶ ἄφεσιν δεδώρησαι· τεθέντος δὲ Σοῦ σώματος τῷ Θεοδέγμονι, Σῷ μνημείῳ, ἔγερσιν παρέχεις τοῖς ἱκέταις Σου.

### Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι

Δαιμόνων τὰ τάγματα ἡττῶνται, καὶ τρόμῳ Σοι φεύγουσι μακράν, ὁρῶντα ἐκχεόμενον, ἐκ Σοῦ λαμπρῶς τοῖς πέρασι, τὸ φῶς τὸ ἐπουράνιον, ὃ καταυγάζει τῶν ἀνθρώπων τήν διάνοιαν.

### Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι

Ὄλβιος τόπος ἀνεδείχθης, οὗπερ τήν δόξαν ὁ Δαυίδ. προφητικῶς ἀνύμνησε, καὶ πᾶσι χάρις ἔλαμψε. Χαῖρε, ὅτι διέρρηξας τοὺς τοῦ θανάτου δεσμούς, καὶ ἀνάγεις πρὸς τὰ ἐπουράνια, τοὺς ἐν πίστει τιμῶντας τὸν Κύριον.



### Καί νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Χαῖρε κλῖμαξ καθόδου τοῦ Κυρίου, εἰς Ἅδου πρὸς ἔγερσιν νεκρῶν, χαῖρε ὁδός ἀπάγουσα, ἐκ γῆς εἰς τὰ οὐράνια, γένος βροτῶν, πανθαύμαστε, Θεῖε Τάφε, Θεοῦ κατοικητήριον.



## Κοντάκιον

Τῷ Παναγίῳ καὶ Σεπτῷ Τάφῳ Σου Δέσποτα,
Παρεστηκὼς ὁ εὐτελής τε καὶ ἀνάξιος,
Τὴν ἐμὴν ἀφοσιώσασθαι μετὰ πόθου,
Οἰκτροτάτην ταύτην δέησιν τετόλμηκα,
Καὶ εἰς δύναμιν συμπλέξας Τούτῳ ἔπαινον,
Προσφεγγόμενος· Χαίροις, Τάφε Πανάγιε.

Ἦν δὲ φησίν, ἐκεῖσε λυπηρῶς καθημένη, ἀπέναντί σου Ἅγιε Τάφε, σὺν Μαρίᾳ τῇ Μαγδαληνῇ ἡ Πανάχραντος Μήτηρ Θεοῦ στένουσα πυκνῶς σοι ἀτενίζουσα καὶ περιπαθῶς φθεγγομένη·

Χαῖρε, λοιπὸν ἀντ' ἐμοῦ Σὺ Τάφε·
χαῖρε, εἰς ταὐτὸν καὶ Σὺ ὦ λίθε.



Χαῖρε, τὸν ἀναπεσόντα κρύψας Λέοντα·
χαῖρε, τὸν κοιμηθέντα συστείλας Ἄνακτα.

Χαῖρε, ὅτι ὑποδέδεξαι τὸν γλυκύν μου Ἰησοῦν·
χαῖρε, ὅτι σεσαββάτικεν ἐπὶ σοὶ Υἱὸς Θεοῦ.

Χαῖρε, καὶ δέομαί σου τὴν ζωὴν μὴ καθέξῃς·
χαῖρε καὶ δός μοι ζῶντα τὸν Νεκρὸν Ὅνπερ ἔχεις.

Χαῖρε, Παραδείσου ὡραιότερε·
χαῖρε, παστάδος πάσης λαμπρότερε.

Χαῖρε, ἀφ' οὗ ἡ Ἀνάστασις φαύσει·
χαῖρε, ἐξ οὗ ὁ Υἱός μου ἐκλάμψει.

### Χαῖρε, Τάφε Πανάγιε

Θεομάχων οἱ πρῶτοι, Θεοκτόνων Ἑβραίων συνήχθησαν καὶ αὖθις Πιλάτῳ, τὸν Τάφον σφραγισθῆναι Χριστοῦ, ὡς ἀσφαλῶς τηρεῖσθαι αὐ-

τὸν ᾔτησαν, κυροῦντες τὴν Ἀνάστασιν, εἰ καὶ μὴ ἐβούλοντο λέγειν·

Ἀλληλούϊα

Ἴδον οἱ ἐν τῷ σκότει, τῷ τοῦ Ἅδου, δεσμῶται, τὸ μέγα φῶς Χριστοῦ τοῦ Σωτῆρος· καὶ σὺν τῇ Ἀναστάσει Αὐτοῦ συναναστηθέντες καὶ αὐτοὶ ἔχαιρον, τὸν Τάφον δὲ θεώμενοι ὡς κλίνην Νυμφίου ἐβόων·

Χαῖρε, κατάλυμα τοῦ Δεσπότου·
χαῖρε, τὸ σῶστρον ἡμῶν τοῦ γένους.

Χαῖρε, ἐξ οὗ ρέει κρουνὸς θείου πόματος·
χαῖρε, νοητοῦ ἡ ληνὸς ὄντως βότρυος.

Χαῖρε, ὅτι ἐξαπέστειλας εἰς ἡμᾶς τὸν Λυτρωτήν·
χαῖρε, ὅτι ἐξανέστημεν ὑπ' Αὐτοῦ ὄντες νεκροί.



Χαῖρε, καὶ γὰρ ἀνέστη ὁ Πρωτότοκος πάντων·
χαῖρε, καὶ γὰρ ἠγέρθη νεκρῶν ζώντων ὁ Ἄρχων.

Χαῖρε, Ἀδὰμ τοῦ νέου ὁ θάλαμος·
χαῖρε, φωτὸς ἀνεσπέρου ἔμπλεως.

Χαῖρε, τὸ φῶς τοῖς ἐν Ἅδῃ παρέχων·
χαῖρε, πρὸς μίαν πίστιν συνάπτων.

**Χαῖρε, Τάφε Πανάγιε**

Κῆρυξ τοῦ Σταυρωθέντος, καὶ ἐκ νεκρῶν ἀναστάντος, ἐδείχθη τοῖς Ἑβραίοις Λογγῖνος· ἔλεγε γάρ, Θεοῦ Υἱὸς ἦν Οὗτος, ὁ ἐκ τῶν νεκρῶν ἀναστὰς Κύριος· οἱ δὲ διεχειρίσαντο αὐτόν, Χριστῷ βοῶντα οὕτως·

Ἀλληλούϊα

Λίαν πρωΐ ἐλθοῦσαι τῇ μιᾷ τῶν Σαββάτων, προσέφερον μύρα Μυροφόροι· φωνῆς δὲ τοῦ Ἀγγέλου τρανῶς εὐαγγελιζομένου αὐταῖς ἤκουον· τὸν Τάφον δὲ δεικνύοντος, ἐσκόπουν πρὸς Αὐτὸν βοῶσαι·

Χαῖρε, ὁ μόνος ὄλβιος Τάφος·
χαῖρε, ὁ πάνυ ἔνθεος τόπος.

Χαῖρε, τὸν ἐξ Ἰούδα Σκύμνον δεξάμενος·
χαῖρε, τον ἐκ ρίζης Δαυὶδ σκιασάμενος.

Χαῖρε, ὃς εἰς χαρὰν ἔτρεψας τὴν κατήφειαν ἡμῶν·
χαῖρε, ὅστις ἀπεδίωξας ἀθυμίαν τῶν ψυχῶν.

Χαῖρε, διὰ σφραγίδων σφραγισθεὶς παρ' Ἑβραίων·
χαῖρε, ὁ κουστωδίας τηρηθεὶς τῶν Ρωμαίων.

Χαῖρε, δι' ὧν ἡμᾶς πιστωσάμενος·
χαῖρε, ἀπιστίαν ἀπωσάμενος.



Χαῖρε, ἐξ οὗ ἐξανέστη ὁ Κτίστης·
χαῖρε, δι' οὗ ἐφωτίσθη ἡ κτίσις.

**Χαῖρε, Τάφε Πανάγιε**

Μάταια Ἰουδαῖοι, καὶ κενὰ μελετῶντες, χρήμασι διέφθειραν τοὺς τηροῦντας, σιγῆσαι τὴν Ἔγερσιν Χριστοῦ, καὶ εἰπεῖν οἱ Μαθηταὶ Αὐτὸν ἔκλεψαν. Ἡμεῖς δὲ οἱ πιστεύοντες, βοῶμεν Χριστῷ ἀναστάντι·

**Ἀλληλούϊα**

*Ὠδὴ δ΄. Ὁ Εἱρμός.*

Ὁ καθήμενος ἐν δόξῃ ἐπί θρόνου Θεότητος, ἑκών τεθείς ἐν Τάφῳ, ἦλθεν Ἰησοῦς ὁ Ὑπέρθεος, ἐν τοῖς τοῦ Ἅδου ταμείοις καὶ διέσωσε, τοὺς κραυγάζοντας· Δόξα Χριστέ τῇ δυνάμει Σου.

## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ἐν χαρᾷ ὑμνολογοῦμεν, ψάλλοντές Σοι Τάφε Πανόλβιε, χαῖρε εὐωδίας τὴν ὀσμὴν ἐκχέων τοῖς πέρασι, χαῖρε τῶν πεπτωκότων βροτῶν ἀνόρθωσις, δι' οὗ πάντες τῷ Κυρίῳ συναπτόμεθα.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ἰωσήφ σύν Νικοδήμῳ, ἐν Σοὶ θάπτουσι τῆς Δόξης τὸν Κύριον, ὃν ἐν τρόμῳ θεωροῦσι, πάντα τὰ οὐράνια τάγματα· καί θαυμαστῶς μετατρέπεις τήν κατήφειαν, εἰς χαράν, τῇ κτήσει τῆς ἀρχαίας λαμπρότητος.



**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ὃν τὸ πάλαι διά φθόνον, δοῦλον ἀδελφοὶ ἐπώλησαν, Ἰωσήφ τὸν σωφρονοῦντα καὶ ἐν λάκκῳ κατέθεντο, τὴν τοῦ Κυρίου, Σοί Τάφε, θείαν κατάθεσιν, ἀγνοοῦντες προετύπουν, εἰς μαρτύριον τοῖς ἔθνεσι.

**Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι**

Νέα καινουργεῖται κτίσις καὶ πιστοὶ νῦν ἀγάλλονται, Σύ κατέστης γὰρ ὦ Τάφε, νοημάτων ἐνθέων ἡ ἄβυσσος· Χαῖρε τῶν λόγων Κυρίου βυθέ ὠκεάνειε, ὁ ἐκχέων τῷ κόσμῳ τὴν χαράν τῆς Ἀναστάσεως.

**Καί νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων 'Αμήν.**

Σύ ὑπάρχεις Θεῖον μνῆμα, Βασιλέως παλάτιον Σύ καθίστασαι ἀφράστως ὁ κρουνὸς Θείου πόματος καί εἰς χαρὰν μετατρέπεις τὴν κατήφειαν, ὡς παστὰς τοῦ Δεσπότου καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Ὠδὴ ε΄. Ὁ Εἱρμός.*

Ἐξέστη τὰ Σύμπαντα, Σῆς χάριτος πληρούμενα, Τάφε τοῦ Παντάνακτος τῆς Δόξης. Ἐν Σοί ἐτέθη ὁ χορηγὸς τῆς Ζωῆς, ὡς σκύμνος λέοντος ὑπνῶν, καὶ βροτοὺς ἀνήγαγε ἀπό γῆς εἰς οὐράνια.



## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ὀθόνια κείμενα, ὧδε κατεμαρτύρησαν, τὸν οἰκήσαντα ἐν Σοί καὶ 'Αναστάντα. Σὺ γὰρ κατέστης τῆς 'Αφθαρσίας 'Αρχὴ, Ἄνακτος ὧν σαββατισμὸς καὶ 'Αδὰμ ἀνόρθωσις, Τάφε τοῦ Παντοκράτορος.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ἰσχὺν ἀρυόμεθα, προστρέχοντες τῇ Χάριτι, ἣν, τοῖς πίστει προσιοῦσι Σοι παρέχεις. Σύ γὰρ κατέστης Τράπεζα Θείας τρυφῆς καὶ πληροῖς τὰ στόματα Πιστῶν, Σώματος καὶ Αἵματος τοῦ Κυρίου, εἰς ἄφεσιν.

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Πρῶτος ὢν τῶν Δώδεκα, σπεύδει ταχέως τῷ Μνήματι, ἐκπλῦναι τὴν ἄρνησιν, ὁ Σὸς φίλος Πέτρος. Ὡς δὲ Σε εὗρε, Τάφε Κυρίου, κενὸν καὶ τό σουδάριον ὁρῶν, πᾶσιν ἀνεκήρυξε τὴν τριήμερον ἔγερσιν.

**Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι**

Ρωμαῖοι συστέλλονται καὶ ὡς νεκροί καθίστανται καθορῶντες τὰ ἐν Σοί γεγενημένα. Ἐκ Σοῦ ἐξῆλθε ὁ Βασιλεύς καὶ Θεός, συντρίψας ὡς μόνος δυνατός, Ἅδου τὰ βασίλεια καὶ ζωὴν δωρησάμενος



**Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων Ἀμήν.**

Ἐν Σοί καταισχύνονται, ὁρῶσαι Σου τὴν δύναμιν, φάλαγγες ἀπίστων καὶ δαιμόνων. Ἐκ Σοῦ γὰρ φαίνει πᾶσιν ἀνέσπερον φῶς, τῶν Σέ τιμώντων φωτισμός, ἀψευδές μαρτύριον τῆς κοινῆς Ἀναστάσεως.

*Ὠδὴ Στ΄. Ὁ Εἱρμός.*

Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ Θεόφρονες τοῦ Θεοδέγμονος Τάφου, δεῦτε τὰς χείρας κροτήσωμεν τὸν ἐν Αὐτῷ τεθέντα Θεόν δοξάζοντες.

## Τροπάρια

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Πάντες ἐν πίστει προστρέχομεν καὶ ψάλλομεν Σοι Τάφε Πανόλβιε καὶ μακαρίζομεν Σύ γὰρ κατέστης παλάτιον τοῦ μόνου Βασιλέως καὶ τὸν θάνατον πατήσαντος

**Πανάγιε Τάφε τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ Σῇ Χάριτι**

Ἔδραμον κλαίουσαι ὄρθριαι, γυναῖκες μετά μύρων Θεόφρονες, Σοί Θεοδέγμονι, καὶ μὴ εὑροῦσαι τὸν Ἄναρχον, Σέ τρόμῳ θεωροῦσι, δι' οὗ σύμπαντα πεφώτισται.



**Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ἰδού τὰ Ἅδου βασίλεια, συνθλῶνται καθορῶντα τὸν Κύριον, νεκροί ἀνίστανται, καὶ Σύ καθίστασαι ἄνοδος, ἐκ τῶν καταχθονίων είς τὰ οὐράνια.

**Καὶ νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.**

Χριστῷ ἐν Σοί συνθαπτόμεθα, κατέστης γὰρ ἐλπίς ἀκαταίσχυντος, τῆς Ἀναστάσεως, καὶ μυστηρίων προτύπωσις καὶ αἰωνίου Δόξης ἀποκατάστασις.